Mscr. Dresd. App. 2712, B 21, 146.

Δημήτριος Σλεγέλῳ εὖ πράττειν·

Οὐλέτε καὶ μέγα χαῖρε!

Genève 25. Septembre
1807.

Χρόνος μὲν οὐκ ὀλίγος διεῤῥύη, ἐξ οὗ οὔτ' ὀφθαλμοῖς οὔτ'
ἄλλως διὰ γραφίδος ἀλλήλοις ξυγγενόμεθα, ἡ δὲ μνήμη
μου ἀεί, φίλε ἄνερ, περιίπτατο Σοι, καὶ Σοι νοερῶς
ψυχῇ διακεχυμένη ξυνωμίλουν. Βάσκανος, φεῦ,
καὶ πονηρὰ δαίμων κατορχουμένη μου οἴκοι με κατα=
κλείσε, καὶ ἡ ἔξοδος ἀπείρηταί μοι.
ὢ πόνου, οἷά μ' ἐργάζῃ κακά!
τὸ φιλοκτήτειον ἐκεῖνο ἐπέρχεταί μοι ἀναβοῆσαι. οἶσθα
τὰ κατὰ τὸν πόδα, καὶ μοι περιττὸν ταῦτ' ἐκτραγῳ=
δῆσαί Σοι. οἷα πάσχω δεινά! μακρὰν τῶν ταῖς Μού=
σαις θιασωτῶν ὤν, μακρὰν τῆς Ἱπποκρήνης, ἧς ἠρυό=
μην ποτὲ ἥδιστα νάματα, μακρὰν τῆς Ναοῦ τῆς
φαντασίας, καὶ ἀγχινοίας (οὐκέτι αἱ ὄψεις μου ἐστιῶνται
τῶν ἐνθεάμασι καλλίστων, οὐκέτι τὸ οὖς μου ἐνηχεῖ
τῇ ἡδυτάτῃ αὐδῇ τῆς Νέας Κορίννης, οὔτε τῆς Σῆς.)
ὁρᾷς, ἄνερ, οἵων ἐστέρημαι. ἆρ' οὐ δίκαιος ἐγὼ ἐπὶ τού=
τοις λυπεῖσθαι καὶ μεμψιμοιρεῖν? καὶ μάλα. Τί δέ μοι
τὸ παραμύθιον? οὐδὲν ἀλλ' ἢ τὸ δύνασθαι πρὸς Σὲ
εὐθύναι τὸν κάλαμον. ἅπτομ' οὖν τούτου, ὡς ὁρᾷς,
τήμερον μεγάλῃ τῇ χαρᾷ, καὶ Σοι ἐγχαράττω ἀντὶ τοῦ=
πιζόλιον δεῖγμα φιλίης τ' ἐμῆς καὶ μνήμης. Μέμνησό μου
δέ, φίλε ἄνερ, καὶ Σὺ ὡσαύτως, καί μοι ἀξίωσον
ἀπολαῦσαι γραμμάτων Σου μελιῤῥύτων, ἃ νηπενθῆ
μοι ἔσται κ' ἐπίληθα κακῶν ἁπάντων, ἐγὼ δὲ ξήσω
τὸ οὖς μου, τὰς ὄψεις, τὴν διάνοιαν εἰς τὰ Σὰ γράμματα
δεόμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων. Ἔῤῥωσο.